1b

ΘΕΩΡΗΜΑΤΑ ΦΙΛΟΣΟΦΙΚΑ.

ΛΟΓΙΚΑ.

ΗΜΕΝ φιλοσοφία παρὰ τῶν ἀνθρώπων γενεσιάρχῃ θεόθεν ἐνυπῆρξεν ὁλόκληρος, εἶτα δὲ, τῇ τῶν ἀνθρώπων ῥαθυμίᾳ διεφθαρμένη, ὑπὸ τῶν Αἰγυπτίων τοῖς ἀνθρώποις ἀποκατέστη. Ταύτην καλῶς ἀπεφήνατο τὴν τῶν ὄντων ᾗ ὄντων γνῶσιν· Τέχνη κἂν περ ὑπὸ τὰς ἐπαινετὰς ἕξεις διανοητικὰς τελῇ, ὅμως γε τοῦ τῆς φιλοσοφίας ὀνόματος οὐκ ἀξία τυγχάνει οὖσα· φιλοσοφίας ὄργανον καὶ μέρος ἐστὶ διαλεκτική, ἐπιστήμη πρακτική, ἁπλῶς ἀναγκαία πρὸς τὸ ἀσφαλῶς καὶ ἀπλημμελήτως ἑκάστης τῶν λοιπῶν ἐπιστημῶν ἐν τελείᾳ καταστάσει ἐφικέσθαι.

ΠΡΟΣ τὴν τῶν αὐτῶν συμπλοκῆς ὅρων ἀντίληψιν οὐ σμικρὸν συμφέρει ἡ τῶν καθόλου καὶ κατηγοριῶν εὕρεσις. Οὐχ ὑποληπτέον δὲ τὰ καθ' ὅλου εἶναι τὰ ὀνόματα ἢ νοήματα, ἀλλὰ τὰ ὑπὸ τούτων σεσημασμένα πράγματα, ἅπερ ἐστὶν ὑπεστρωμένα τῇ καθολικότητι· λέγω δὲ καθολικότητα σχέσιν τινὰ πεπλασμένην, ἥπερ παυσαμένου τοῦ νοῦ οὐδαμῶς ὑπάρχει· οὐκ ἀλόγως δὲ κατὰ τοὺς ἀρχαίους πενταπλασίαν εἶναι τιθέασιν· ἃς δὲ θεῖος ὁ Πλάτων ἰδέας εἰσήγαγεν, ὑφίστασθαι καὶ κατὰ τὴν ἀπαρεμπόδιστον τοῦ Θεοῦ ἐνέργειαν ἀδύνατον.

ΟΜΟΙΟΤΡΟΠΩΣ τοῖς καθ' αὑτὰ σκοπουμένοις πράγμασι τοῖς γε πεπερασμένοις διὰ τῆς ἐπινοίας ἐγκαταγράφεται τὸ τῆς κατηγορίας σχῆμα, τὸ δὲ θεῖον ἀπερίγραπτον, ἁπλούστατον καὶ πρῶτον ὂν τῇ φύσει μήτε κατὰ βάθος μήτε κατὰ πλάτος οὐδεμιᾶς κατηγορίας περιβόλῳ περιορίζειν ἐστὶ δίκαιον. Τὸ πρώτως ὂν καὶ οὔ τι ὂν ἁπλῶς ἡ οὐσία ἐστίν, ἣν καλῶς ἀπεφήναντο ὂν αὐθυπόστατον· συμβεβηκὸς δὲ, τὸ ἔν τινι μὴ ὡς μέρος ὑπάρχον, ἀδύνατον χωρὶς εἶναι τοῦ ἐν ᾧ ἐστι κατὰ τὴν φύσεως δύναμιν.

ΤΩΝ συμβεβηκότων σωματικῶν πρῶτόν ἐστι τὸ ποσὸν τὸ διαιρετὸν εἰς ἐνυπάρχοντα, ὧν ἑκάτερον ἕν τι καὶ τόδε τι πέφυκεν εἶναι· ἐν τῷ αὐτῷ σχήματι κατηγορίας οὐ προσίεται τὸ διωρισμένον οὔτε συνεχὲς ἐν διαδοχῇ κείμενον, ἀλλὰ μόνον τὸ συνεχὲς ὑπομένον, γραμμὴν δήπου, ἐπιφάνειαν, σῶμα· Τὸ δὲ διάστημα, ὑπὸ τῶν παλαιῶν τόπος λεγόμενον, οὐ μόνον οὐκ ἔστι τῶν συνεχῶν, ἀλλ' οὔτε τῶν δυνατῶν.

ΑΠΟΦΑΝΣΙΣ ἐστὶ λόγος μὲν ἀνθρώπινος σημαντικὸς κατὰ συνθήκην, οὗπερ τῶν μερῶν τι σημαντικόν ἐστι κεχωρισμένον· λόγος δὲ λογικὸς οὐκ ἔστι· τῶν ἀποφάνσεων αἱ μὲν εἰσὶ σύνθετοι, αἱ δὲ ἀσύνθετοι. Φαίνεται δὲ τῶν ἀποφάνσεων σχεδὸν τρία πάθη, ἀντίθεσις, ἰσοδυναμία καὶ ἀντιστροφή. Τῶν ἀντιφατικῶς τεθειμένων οὐ μόνον ἐπὶ τῶν καθ' ὅλου, ἀλλ' ἐπὶ τῶν καθ' ἕκαστα καὶ μελλόντων ἡ μὲν ὡρισμένως ἀληθεύει, ἡ δὲ ψεύδεται.

ΗΘΙΚΑ.

ΠΡΟΣ τὸ κοσμεῖν τὸ ὀρεκτικὸν τῆς ψυχῆς μόριον, χρησίμης οὔσης τῆς τῶν ἠθῶν διδασκαλίας, οὐ μόνον τὸν γέροντα τὸν τῆς ἀκρασίας παθῶν ἀπηλλαγμένον, ἀλλὰ καὶ τὸν νέον ἐλευθέριον καὶ ἐκ τῆς ἀρετῆς κατακώχιμον τοιαύτης φιλοσοφίας οἰκεῖον ἀκροατὴν εἶναι διϊσχυριζόμεθα· ἔστι δὲ καὶ αὕτη ἐπιστήμη κυριώτατα λεγομένη περὶ τὴν τῶν πράξεων ἀνθρωπίνων κατόρθωσιν καὶ καλοκαγαθίαν καταγινομένη· διὸ καὶ ὀρθῶς διεῖλον τὸν κατὰ ταύτην φιλοσοφίαν λόγον εἰς μοναστικόν, οἰκονομικόν, καὶ πολιτικόν.

ΑΚΡΟΤΑΤΟΝ πάντων ἀγαθῶν ὁ Θεὸς μόνος ἐστίν, οὗπερ ἐπήβολος ἄνθρωπος τυγχάνει ὢν οὐ κατὰ τὴν τύχην, ἀλλὰ κατὰ τὴν τοῦ αὐτοῦ δωρεάν, οὔτε κατὰ τὴν ἕξιν, ἀλλὰ κατὰ τὴν ἐνέργειαν τοῦ ἑκτικῶς διακειμένου· ἔστι γὰρ εὐδαιμονία ψυχῆς ἐνέργεια κατ' ἀρετὴν κρατίστην καὶ τελειοτάτην ἐν βίῳ τελείῳ· τὰ τοῦ σώματος καὶ τὰ ἔξω ἀγαθὰ οὐκ ἔστι κύρια τοῦ εὐδαιμονεῖν· ὅμως δὲ τούτοις ἱκανῶς χορηγεῖσθαι, καὶ τοῖς φυτοῖς συζῆν συνεπικοσμεῖν πέφυκε τὸ μακάριον.

ΤΗ κατὰ σοφίαν ἐνέργεια, ἅτε δὴ τοῦ κρατίστου καὶ μάλιστα ἄρχοντος καὶ ἡγουμένου οὖσα, ἔτι συνεχεστάτη, καὶ ἡδίστη, καὶ αὐταρκεστάτη, καὶ πάντων δι' αὑτὴν αἱρετωτάτη, καὶ ὡς ἀληθῶς τῆς ψυχῆς σχολὴ οὖσα συνηγορουμένη περὶ τῶν ἀριστείων· ὥσθ' ὅμως τὴν τοῦ Θεοῦ ἀγάπην τῇ σοφίᾳ εἰς τὸν μακαρισμὸν ἀνθρώπου ἐξ ἀνάγκης συναγωνίζεσθαι. Τῶν θείων δὲ θεωρίαν ἔχοντες τῷ Θεῷ μᾶλλον ἐξομοιούμεθα τῶν βασιλέων, ὥσπερ οὐκ ἀλόγως ὁ Ποιητὴς ἐμψύχους εἰκόνας τοῦ Θεοῦ ἀποκαλεῖ, καὶ ὑπὲρ ἔπαινον ὁποιονδηποτεοῦν καθιστάμεθα, κἄνπερ οἱ πρὸς ἡμᾶς ἀναφερόμενοι Θεοῦ καὶ μακαρίων ἔπαινοι οὐ πάνυ γελοῖοι φαίνωνται.

ΤΟΥ ὀρεκτικοῦ ἀλόγου ὁρμαὶ κατὰ τὴν τοῦ σώματος ἀλλοίωσιν τὸν ἄνθρωπόν πως ἄγουσαι τὰ τῆς ψυχῆς πάθη λέγονται· ἐρρώσθων οἱ ἀμφὶ τοὺς Στωϊκοὺς παντελῶς ταῦτα τῆς ψυχῆς ἐκτεμεῖν ἐγχειροῦντες· τὸν σοφὸν βεβαιούμεθα δεκτικὸν τῶν παθῶν οὐ μόνον τῶν τοῦ λόγου δυνάμει μετριαζομένων, ἀλλὰ καὶ τῶν προκαταλαμβανόντων καὶ ἀπροσδοκήτων· τούτων δὲ τὰ μὲν ἐν ἐπιθυμοειδεῖ, ἔρως δήπου ἐπιθυμία, χαρά, μῖσος, φυγή, λύπη· τὰ δ' ἐν θυμοειδεῖ, ἐλπίς, ἀνελπιστία, φόβος, θράσος, ὀργὴ χώραν εἴληφε.

ΑΡΕΤΗ οὐκ ἔστιν ἡμῖν συμπεφυσιωμένη, ἀλλὰ παραγίνεται οὐ κατὰ τὴν μάθησιν, εἰ καὶ ἐπιστητὴ τυγχάνει οὖσα, ἀλλὰ κατὰ τὴν ἄσκησιν. καὶ γὰρ οὐ δίκαια λέγοντες ἀλλὰ δίκαια βουλόμενοι καὶ δικαιοπραγοῦντες δίκαιοι γινόμεθα· ἔστι γοῦν ἕξις προαιρετικὴ ἐν μεσότητι κειμένη τῇ πρὸς ἡμᾶς καὶ ὡς ἂν φρόνιμος ὁρίσειεν· ἡ δὲ λεγομένη μεσότης τῇ δικαιοσύνῃ κατὰ τὸν αὐτὸν τρόπον ταῖς περὶ τὰ πάθη ἀρεταῖς ἁρμόζει· οὐκ ἔχει γὰρ παρ' ἑκάτερα δύο κακίας, αἷς ἀντίκειται, ἀλλ' ἡ δικαιοπραγία μέσον ἐστὶ τοῦ ἀδικεῖν καὶ τοῦ ἀδικεῖσθαι.

ΦΥΣΙΚΑ.

ΦΥΣΙΚΗΣ σκέψεώς ἐστι πᾶν τὸ κινητόν, ἐκ ταύτης δὲ τῶν ἰατρῶν οἱ φιλοσοφωτέρως τὴν τέχνην μετιόντες ἐξ ἀνάγκης ἤρξαντο. τοῦ δὲ κινητοῦ σώματός εἰσιν ἑτεροειδεῖς ἀρχαί, αἱ μὲν ἐξ ὧν γίγνεται, αἱ δ' ἐξ ὧν ἐστιν, αἱ δ' αὖ ἐξ ὧν γινώσκεται, ἀρχαὶ γενέσεως, αἳ μήτ' ἐξ ἄλλων μήτ' ἐξ ἀλλήλων εἰσὶν ἀλλ' ἐκ τούτων πάντα· εἰσὶ τρεῖς, ὕλη, εἶδος, στέρησις· ἀρχαὶ συνθέσεως, ἐξ ὧν πρώτων τὰ φύσει συνεστῶτά εἰσι καὶ γεγόνασι μὴ κατὰ συμβεβηκός, εἰσὶ δύο, ὕλη καὶ εἶδος· ἀρχαὶ τῆς γενέσεως οὐ μὲν τῆς τυχούσης ἀλλ' ἐπιστημονικῆς εἰσιν αἰτίας, αἵπερ ἐπιρρέουσι τὸ εἶναι εἰς ἄλλο, ὧν τέτταρα γένη εἰκότως ἄν τις ὑπολάβοι.

ΩΣ ἔστι φύσις ἀποδεικνύναι πειρᾶσθαί ἐστι τοῦ μηδὲν δυναμένου κρίνειν· ἐπειδήπερ γὰρ τῶν ὄντων οὐδὲν ἀργὸν πέφυκε, τὴν φύσιν δήπου καθιστάναι προσήκει τὴν ἀρχὴν τοῦ κινεῖσθαι καὶ τοῦ ἠρεμεῖν ἐν ᾧ ὑπάρχει πρώτως καθ' αὑτὸ καὶ μὴ κατὰ συμβεβηκός· φύσις μὲν οὖν οὐ μόνον τὸ πρῶτον ἐνυπάρχον ἑκάστῳ ἀρρύθμιστον καθ' αὑτὸ ὕλη, ἀλλὰ καὶ κυριώτερον τὸ εἶδος τὸ κατὰ λόγον, δι' οὗ ἕκαστον τῇ ἐντελεχείᾳ ὂν μᾶλλον εἶναι πέφυκε· τὸ δι' ἀμφοῖν, φυσικόν· τὰ δὲ τούτῳ παρεπόμενα πάθη, κατὰ φύσιν λέγεται.

ΤΕΣΣΑΡΑ πάντων τῶν φύσει κοινὰ τυγχάνει ὄντα πάθη, μέγεθος πεπερασμένον, εἰ καὶ τὸ ἄπειρον μηχανᾶσθαι παντοκράτωρ ὁ Θεὸς δύναται· τόπος τὸ τοῦ περιέχοντος πέρας ἀκίνητον πρῶτον· ἀφοριστέον οὖν τοῦ τόπου τὸν ὑψηλότατον οὐρανόν· δύο δὲ σώματα ἐν τῷ αὐτῷ ὑπάρχειν καὶ ἓν σῶμα ἐν πολλοῖς συνάμα κατὰ τὴν ἀπαρεμπόδιστον τοῦ Θεοῦ δύναμίν ἐστι δυνατόν. Χρόνος ἀριθμὸς τῆς κινήσεως κατὰ τὸ πρότερον καὶ τὸ ὕστερον. Κίνησις τοῦ δυνάμει ὄντος ἐντελέχεια ᾗ τοιοῦτον. τοῦ κενοῦ κατὰ τὴν δημιουργικὴν τοῦ Θεοῦ βούλησιν δοθέντος τὰ βαρέα καὶ κοῦφα ἐν αὐτῷ κατ' εὐθεῖαν φέρεσθαι οὐδὲν παράλογον.

Ο Κόσμος εὐρυχωρότατον τῶν ἐν φύσει ἀγγεῖον καὶ κάλλιστον ἐξ οὐρανοῦ καὶ γῆς καὶ τῶν ἐν τούτοις περιεχομένων σωμάτων σύστημα ὡς ἀληθῶς τῇ ἐνεργείᾳ ἀπ' αἰῶνος οὐχ ὑπῆρξε, πλὴν εἰ μὴ ἐν τῷ ἀρχετύπῳ· οὐ μὴν ἀλλὰ κατὰ τὴν τοῦ Θεοῦ αὐτεξούσιον δύναμιν τῶν ὄντων τὰ ἀναλλοίωτά τε καὶ φθαρτὰ ἀϊδίως ὑποστῆναι ἠδύνηθη· Τὰ δὲ ἐν τῇ ἀδιαλείπτῳ ῥεύσει καὶ ἀνεπιμόνῳ διαδοχῇ κείμενα οὐκ ἠδύνηθη.

ΤΩΝ σωμάτων τιμιώτατόν ἐστι τὸ ἔμψυχον ἐν ᾧ ἑτεροειδῆ μόρια, τῶν ἔργων ἕνεκα πρὸς ἃ πέφυκεν ἕκαστον· ὥστε τὸ σύνολον συνεστάναι πράξεώς τινος ἕνεκα πλήρους· ἡ ψυχή ἐστιν ἐντελέχεια πρώτη τοῦ σώματος φυσικοῦ ὀργανικοῦ δυνάμει ζωὴν ἔχοντος. Ταύτης τριπλάσιον γένος ἰσαχῶς ἀποδιδόασι, τὸ θρεπτικόν, τὸ αἰσθητικόν (τούτων δὲ οὐδὲν θύραθεν ἐπεισιέναι δυνατόν) καὶ ὅπερ μόνον θεῖόν τι καὶ ἀνώλεθρον τὸ διανοητικόν (τούτου ἐνεργείᾳ οὐ κοινωνεῖ ἡ σωματικὴ ἐνέργεια) τὸ δὲ θρεπτικὸν καὶ αἰσθητικὸν ἐν τῷ διανοητικῷ δυνάμει καὶ ὡς φασὶν ἐξοχικῶς περιέχεται.

ΤΑ ΜΕΤΑ ΤΑ ΦΥΣΙΚΑ.

ΟΙ περὶ τῶν θείων εἰδέναι ποθοῦντες ἀπὸ τῶν κατὰ τὴν αἴσθησιν φανερῶν ἐπὶ τὰ θεῖα ὁδὸν ἀσφαλῆ μετέρχονται. ἔχει δ' ἑκάτερα χάριν· ὅμως εἰ καὶ κατὰ μικρὸν ἐφαπτόμεθα τῶν θείων, διὰ τὴν τιμιότητα γνωρίζειν ἥδιον ἢ τὰ παρ' ἡμῖν ἅπαντα· ἡ μεταφυσικὴ γοῦν ἀξία μᾶλλον τοῦ τῆς σοφίας ἢ τῆς ἐπιστήμης ὀνόματος· ἔστι θεωρητικὴ τοῦ ὄντος ᾗ ὄντος καὶ τῶν τούτῳ ὑπαρχόντων καθ' αὑτό. ἔστιν ἀκριβεστάτη καὶ τῶν αἰτίων διδασκαλικωτάτη. ἔστιν ἀρχιτεκτονικὴ καὶ ἐπιτάττει πάσαις θεωρητικαῖς τε καὶ πρακτικαῖς ἐπιστήμαις.

ΤΩι ὡς ἀληθῶς καὶ ἁπλῶς ὄντι καὶ τῷ φαινομένῳ ἢ ὄντος δίκην ὑπὸ τοῦ λόγου πεπλασμένῳ οὐδέν ἐστι κοινὸν οὐδὲ κατὰ τὴν ἀναλογίαν κυρίως λεγομένην. κἄνπερ μηδὲν ἐνδέχηται νοεῖν μηδὲν νοοῦντα ἕν, ὅμως οὐκ ἐνδέχεται τὸ ὂν κοινότατον νοοῦντα, τοῦ ὄντος λόγον ἕνα καὶ τὸν αὐτὸν λόγον ἐν ἀκτίστῳ καὶ κτιστῷ, ἐν οὐσίᾳ καὶ συμβεβηκότι, κἂν πλάσας βουληθείη νοεῖν· οὐκ ἔοικε δὲ τοῖς ἀπὸ τύχης ὁμωνύμοις, ἀλλὰ τῷ πρὸς ἓν καὶ ἀφ' ἑνὸς λεγομένῳ ἢ μᾶλλον τῷ κατ' ἀναλογίαν. ὥστε καὶ τὰ συμβεβηκότα ἐκ τῆς οὐσίας, καὶ τὰ κτιστὰ ἐκ τοῦ ἀκτίστου ἠρτῆσθαι, καὶ ταῦτα κατὰ τὴν τοῦ ὄντος ἔννοιαν.

ΤΑ τῷ ὄντι ἰδίως ἐνυπάρχοντα τρία ἐστί, τὸ ἕν, τὸ ἀληθές, καὶ τὸ ἀγαθόν· ἓν λέγεται τὸ ἀδιαίρετον ἐν ἑαυτῷ καὶ διῃρημένον ὁτουοῦν ἄλλου· ἐπειδήπερ ἡ φύσις τριχῶς θεωρεῖται, θετέον ὁμοιοτρόπως τριπλασίαν ἑνότητα, τῆς οὐσίας ἁπλῶς, τοῦ καθέκαστον, καὶ τοῦ καθόλου· ὧνπερ δύο μὲν πρότεραι προϋπάρχουσι παντὸς τοῦ λόγου πλάσματος· Τρίτη δὲ τῇ φύσει παραπέπηγε κατὰ τὴν ψιλὴν ἐπίνοιαν· ἀληθὲς λέγεται τὸ συνῳδὸν τῷ νῷ. ἀγαθόν ἐστι τὸ ἐφαρμόζον τῇ βουλήσει· ἁπλῶς δὲ καὶ κατ' ἀλήθειαν βουλητόν ἐστι τἀγαθόν, ἑκάστῳ δὲ τὸ φαινόμενον· οὐκ ἔστι βουλητὸν τὸ κακὸν ὡς φαινόμενον κακόν.

ΤΟΥ ὄντος μέρη ἐστὶν οὐσία καὶ συμβεβηκός. τῆς οὐσίας ἴδιόν ἐστι καθ' αὑτὸ ὑποστῆναι, τοῦτ' ἔστιν ὑπεστρῶσθαι καὶ ὑποκεῖσθαι τοῖς συμβεβηκόσι, ἤτοι γε μᾶλλον διωρίσθαι τινὶ τρόπῳ ὑποστάσεως λεγομένῳ, Ἀριστοτέλει ἀγνώστῳ, δι' οὗ ἡ οὐσία ἀκοινώνητος ἀποτελεῖται· παραπλησίως τοῦ συμβεβηκότος ἴδιόν ἐστιν ἐν ἄλλῳ διὰ τῆς προσκολλήσεως ὑπάρχειν, ἥπερ μήτ' ὡς ῥίζα μήτ' ὡς ἐνέργεια πρώτη, ἀλλ' ὡς ἐνέργεια δευτέρα σκοπηθεῖσα τρόπος ἐστὶν οὗπερ κατὰ τὸ παντοδύναμον τοῦ Θεοῦ στερίσκεται τὸ συμβεβηκός.

ΠΑΝΤΩΝ δὲ τούτων ἐπέκεινα ὁ Θεός ἐστι· ἡ γνῶσις τοῦ αὐτὸν εἶναι πᾶσι φυσικῶς ἐγκατέσπαρται, καὶ αὐτὴ ἡ κτίσις τὸ μεγαλεῖον τῆς θείας ἀνακηρύττει φύσεως· Τί δ' ἐστιν ἄδηλόν ἐστι καὶ πάντα ὅρια τῆς νοήσεως καὶ καταλήψεως ὑπέρκειται· ὥστε τοῦτο μόνον αὐτοῦ καταληπτὸν ἡ ἀπειρία καὶ ἀκαταληψία· ἡ τοῦ κόσμου συνοχὴ καὶ κυβέρνησις τοῖς θεοπνεύστῳ μὴ πειθομένοις γραφῇ ἐπιδείκνυσι πάντων κυβερνήτην εἶναι ἕνα καὶ νοῦν τινα προτέλειον καὶ ὑπερτελῆ ἀρχὴν πάντων, πάντων τε τελευτήν.

BIBLIOTHEQUE

Hæc theoremata (Deo duce & præs. D. D. Ioan. Yon Phil. Prof.) tuebitur Ioan. Chartier Paris. die 7. Ian. 1629. Pro Soph. publ. & artium laurea in aula artist. Regiæ Nauarræ.